*αἰτεῖν εἶπεν ὡς ἀποδώσων, καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον.*

4. *Ἐν δὲ συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων
τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσα- B
γαγεῖν κελεύσας ἐλαφρῶς καὶ ῥᾳδίως ἀνεπήδησεν ἐπ' αὐτόν.*

## *ΙΕΡΩΝ*

1. *Ἱέρων ὁ μετὰ Γέλωνα τύραννος ἔλεγε μηδένα τῶν παρρησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι.*

2. *Τοὺς δ' ἀπόρρητον λόγον ἐκφέροντας ἀδικεῖν ᾤετο καὶ πρὸς οὓς ἐκφέρουσι· μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκφέροντας ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα.*

3. *Λοιδορηθεὶς δὲ ὑπό τινος εἰς τὴν δυσωδίαν τοῦ στόματος ᾐτιᾶτο τὴν γυναῖκα μηδέποτε περὶ τούτου φράσασαν· ἡ δ' εἶπεν 'ᾤμην γὰρ τοιοῦτον ἅπαντας τοὺς ἄνδρας ὄζειν.'*

4. *Πρὸς δὲ Ξενοφάνην τὸν Κολοφώνιον εἰπόντα μόλις C
οἰκέτας δύο τρέφειν 'ἀλλ' Ὅμηρος' εἶπεν, 'ὃν σὺ διασύρεις, πλείονας ἢ μυρίους τρέφει τεθνηκώς.'*

5. *Ἐπίχαρμον δὲ τὸν κωμῳδοποιόν, ὅτι τῆς γυναικὸς αὐτοῦ παρούσης εἶπέ τι τῶν ἀπορρήτων, ἐζημίωσε.*

## *ΔΙΟΝΥΣΙΟΣ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ*

1. *Διονύσιος ὁ πρεσβύτερος, κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ Μ, πρὸς τὸν εἰπόντα*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/18 UNIVERSITÄT LEIPZIG